# FRAGMENTA GRAECA ET LATINA

I 1, 2–3. Hephaestionis I 6, 1–4 (fr. 5 Stegemann)

⟨ς′⟩ *Περὶ τῶν τριγώνων ὡς Δωρόθεος*

*Κριὸς χαιτήεις τε Λέων τόξοιό τε Ῥυτήρ* 1
*ἤματι Ἠελίοιο, Διὸς δέ τε νυκτὶ ἔασιν*
*ἀλλάγδην, αἰνὸς δὲ Κρόνος τριτάτην λάχεν αἶσαν.*
*Ταύρου, Παρθενικῆς τε καὶ Αἰγόκερω κρατέουσιν* 2
*ἤματι Ἀφρογενής, νυκτὶ δέ τε δῖα Σελήνη,*
*καὶ τρίτατος μετὰ τοῖσι θεὸς πολέμοισιν ἀνάσσων,*
*ἐν δέ νυ Παρθενικῇ Μαίης προσλάμβανε κοῦρον.*
*ἐν Διδύμοις, Ζυγῷ τε καὶ Ὑδροχόῳ κρυόεντι* 3
*ἠμάτιος Φαίνων, ἀτὰρ ἔννυχος Ἀργεϊφόντης,*
*τούτων δ᾽ ὑστατίην Κρονίδης μοιράσατο τάξιν.*
*Καρκίνον αὖτε λάχεν καὶ Σκορπίον ἠδέ τε λοίσθους* 4
*Ἰχθύας ἠματί⟨η⟩ Κύπρις, Πυρόεις δέ τε νυκτός,*
*καὶ μετὰ τοὺς ἑλικῶπις ἔχει βασίλισσα Σελήνη.*

I 1, 9. Hephaestionis I 7, 1 (fr. 6 Stegemann)

⟨ζ′⟩ *Ἐν οἷς χαίρουσι τόποις οἱ ἀστέρες*

*Ἐκ δ᾽ ἄρα τοι τούτων μᾶλλον Κρόνος Ὑδρηχόῳ,* 1
*Ζεὺς δ᾽ ἐνὶ Τοξευτῇ καὶ Σκορπίῳ ἥδεται Ἄρης,*
*Κύπρις δ᾽ ἐν Ταύρῳ γάνυται νόον, ἐν δέ νυ Κούρῃ*
*Ἑρμείας· εἷς δ᾽ ἔστι δόμος φωστῆρος ἑκάστου.*

I 2, 1–2. Hephaestionis I 8, 1–2 (fr. 7 Stegemann)

⟨η′⟩ *Περὶ ὑψωμάτων*

*Ἠέλιος Κριοῖο κατ᾽ ἐννέα καὶ δέκα μοίρας* 1
*ὑψοῦται, Μήνη δὲ περὶ τριτάτην Ταύροιο,*